N 20

3258

126

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΙΩΑ 25

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ.

# ΔΙΟΝΥΣΙΟΥ

Ἀρχιεπισκόπου Αἰγίνης τοῦ Ζακυνθίου.

Ψαλλομένη τῇ κδ΄. τοῦ Αὐγούστου μηνός· ἐν τῇ τοῦ ἱεροῦ αὐτοῦ λειψάνου ἀνακομιδῇ, καὶ ἐκ Στροφάδων εἰς Ζάκυνθον μεταθέσει.

ΣΥΝΤΕΘΕΙΣΑ ΠΑΡΑ

ΓΕΩΡΓΙΟΥ ΙΩΑΝΝΟΥΛΗ ΖΑΚΥΝΘΙΟΥ,

Τοῦ ἐλαχίστου ἐν Ἱερεῦσι.

ΚΑΙ ΤΟΥΔΕ ΚΤΗΤΩΡ
ΞΕΝΟΦΩΝ Α. ΣΙΔΕΡΙΔΗΣ
ΕΝ ΚΩΝ/ΠΟΛΕΙ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

͵αωα΄. ΕΝΕΤΙΗΣΙΝ. 1801.

Παρὰ Πάνῳ Θεοδοσίου τῷ ἐξ Ἰωαννίνων.

CON LICENZA DE' SUPERIORI.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΡ. 2229.
ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΔΕΡΙΔΟΥ



ΤΩ, ΚΥΡΙΩ, ΚΥΡΙΩ,

# ΔΙΟΝΥΣΙΩ, ΤΩ, ΒΙΔΑΛΛΕ.

Τοῦ ἀρτιφανοῦς ἐν Ζακύνθῳ στίλψαντος Ἀστέρος ἀγλαῶς τῇ τῶν εὐσεβῶν Ἐκκλησίᾳ Διονυσίου Ἀρχιεπισκόπου Αἰγίνης, βιοτῆς ἕνεκεν αὐτοῦ Ἰσαγγέλου, ὀφειλομένης αἰδοῦς ἔγωγε πλησθεὶς, τὴν Ἀκολουθίαν τῇ τοῦ ἱεροῦ αὐτοῦ λειψάνου ἀνακομιδῇ τε καὶ ἐκ Στροφάδων εἰς τὴν ἐνεγκοῦσαν μεταθέσει ἁρμόζουσαν συνεγραψάμην· ἄμοιρον μὲν οὖσαν ῥητορικῶν σχημάτων, καὶ ἀκαλλῆ λέξεσι καὶ νοήμασι, γέμουσαν δὲ ζήλου εἰς τὸ τὸν κοινὸν ἡμῶν προστάτην τε καὶ πρύτανιν ἀνυμνῆσαι. δεῖν τοίνυν ᾠήθην οὐκ ἄλλῳ τῷ τὴν βίβλον μοι ἀναθῆναι, ἤγε τῇ ὑμετέρᾳ εὐσεβοφρόνῳ θεοσεβείᾳ Διονυσίῳ τῷ Βιδάλλε τῷ τῇ τετρακτύϊ τῶν ἀρετῶν κεκαλλωπισμένῳ· οὐ μὴν ἀλλὰ καὶ τῇ συνέσει τε καὶ παιδίᾳ παρὰ πᾶσιν οὐ μικρῶς κλεϊζομένῳ· οἶδα γάρ σε Ἄνδρα τοῦ καὶ ἀπὸ στόματος μέλιτος γλυκίων ῥέεν αὐδή· αὐτῷ τοιγαροῦν τῷ περιβλέπτῳ εὐπατρίδῃ ἀνατέθηκα τὴν βίβλον οἱονεὶ μικρὸν δεῖγμα ὧν ἀπολαύσας ἔτυχον εὐποιϊῶν παρὰ σοῦ· εὐμενεῖ οὖν διαθέσει δέξαι τοὐμὸν τοῦ-

2229

τὶ εὐτελὲς δῶρον ὥσπερ οἱ τῶν περσῶν βασιλεις, ὕδατός τε καὶ μήλυ τὰς προσφοράς. Ἐῤῥωμένον σε δὴ, καὶ εὐδαίμονα διατηρείοι ὁ Κύριος εἰς αἰῶνα τὸν ἅπαντα, εὖχος ἡμέτερόν τε καὶ σέμνωμα.

Τῆς ὑμετέρας εὐσεβοφρόνυ θεοσεβείας,
ὁ ὑποκλινέςατος:
Γεώργιος ἱερεὺς ὁ Γωαννέλης.

# ἘΝ ΜΗΝΙ ἈΥΓΟΥΣΤΩ, κδ΄.

## Ἡ ἈΝΑΚΟΜΙΔΗ ΤΟΥ ΛΕΙΨΑΝΟΥ
ΤΟΥ ἘΝ ἉΓΙΟΙΣ ΠΑΤΡΟΣ ἩΜΩΝ

# ΔΙΟΝΥΣΙΟΥ

## ἈΡΧΙΕΠΙΣΚΟΠΟΥ ἈΙΓΙΝΗΣ.

Καὶ ἡ τούτου ἐκ Στροφάδων εἰς Ζάκυνθον Ἄφιξις.

Εἰς τὸ Λυχνικὸν τὸ Μακάριος ἀνήρ· εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ϛ΄. ἦχος, β΄.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ψήφῳ, τοῦ κυρίου ἀναβὰς, θρόνῳ τῆς Αἰγίνης ὁσίως, ταύτην ἐποίμανας, ἔρως δὲ ὡς ἥψατο, τῆς ἱερᾶς σου ψυχῆς, ἡσυχίας ἐμάκρυνας, ἐρήμοις ἀβάτοις, ἐν αἷς συγγινόμενος μόνος τῷ μόνῳ θεῷ· ἤρθης ἀπαθείας εἰς ὕψος, ἄγγελος οὐράνιος οἷα, καὶ ἄνθρωπος θεῖος Διονύσιε.

Ὅτε δι᾽ ὁλκάδος τὸ σεπτὸν, ἐκ Στροφάδων σκῆνος σοῦ ἧκε, τῇ ἐνεγκούσῃ σε, τότε τὰ συστήματα τῶν αὐτοχθόνων ὁμοῦ, εἰς αὐτὴν ἀφικνούμενα, προθύμῳ καρδίᾳ, τοῦτο κατησπάζοντο θερμοῖς τοῖς δάκρυσιν· οἶκον δ᾽ ἀνεγείραντες θεῖον, ἐν αὐτῷ πιστῶς ἀθροισθέντες, σὲ ὑμνολογοῦμεν Διονύσιε.

Κράττων, Σιλωὰμ ὁ σὸς Ναὸς, ὤφθη ὃς οὐχ ἕνα κατ᾽ ἔτος ἰᾶται εὔδοξε, ἀλλὰ πᾶσι δείκνυται ἄκος τοῖς κάμνουσιν, ἰατρεύει πυρέσσοντας, ἐλαύνει ζοφώδη πνεύματα

τα λυτρούμενος, τοὺς δεινῶς πάσχοντας· δίδωσι τυφλοῖς καὶ τὸ βλέπειν, ὅθεν συνελθόντες ἐν τούτῳ, σκήνους σου ἐπάνοδον γεραίρομεν.

Δέμας, δεσμευθὲν ἀφορισμῷ, ἔλυσας γενναίου ἀρρήτως, τοῦ δὲ χειμάῤῥου ὁρμὰς, ἔστησας εἰς ἔκπληξιν τοῦ διακόνου σου, καὶ σεισμὸν προκατήγγειλας ἀσκοῦσι στροφάδων, ἐξ οὗ καὶ διέσωσας, τὸν μοναχὸν θαυμαστῶς· λύων ἀνομβρείας τὴν βλάβην, ὄμβρους ὡς Ἠλίας παρέχεις, Ζάκυνθον φρουρεῖς ὦ Διονύσιε.

Ὕμνον, τῶν Ἀγγέλων στρατιαὶ, σύμφωνον βροτοῖς μεταθέσει, σοῦ σκήνους ἄγουσι· Νῆσος Ζακυνθίων δὲ, ἀγαλλομένη βοᾷ, ἧκε νῦν ὁ προστάτης μου, προθύμῳ καρδίᾳ, δεῦτε ἀσπασώμεθα τὸν καταυγάσαντα· πόλον τῇ ἀνόδῳ τῇ θείᾳ, πνεύματος, καὶ γῆν τῶν θαυμάτων, εὐπρεπῶς κρουνοῖς περιανθήσαντα.

Ὅμοιοι, οἱ τῆς φύσεως σαφῶς, ἤργησαν ἐν σοὶ παραδόξως, μείνας ἀλώβητος, ὥσπερ ὑπερβέβηκας ὅρων ἐπέκεινα, καὶ γὰρ ξένως ἐξενήσας, φονέα συγγόνου, ἔργον ὅπερ ἔφριξαν, καὶ οἱ ἀσώματοι· ὅθεν ὁ τῆς δόξης ταμίας, δόξῃ αἰωνίῳ βραβεύει, σὲ Ζακύνθου κλέος Διονύσιε.

Δόξα, καὶ νῦν. ἦχος, α'.

Θεαρχίῳ νεύματι πάντοθεν τῶν φιλεόρτων ὁ σύλλογος ὑπὸ πολλῆς εὐλαβείας ἀγόμενος. (λ. α'.) καὶ καταλαβὼν τὴν ὑπέρτιμον λάρνακα τοῦ σοῦ σκήνους, σεπτῶς κατασπάζονται. (β'.) Αἱ δὲ ὑπέροχοι τῶν γηΐνων ἀξίαι, σὺν λαῷ χρισοφόρῳ παραγενόμεναι. (πλ. β'.) τὸ πάνσεπτον καὶ θαυματόβρυτον σκῆνος γεραίρουσαι, τῷ δέει κρατούμεναι, ὑπὲρ ἐπαίνου δὲ ποιούμεναι, καὶ ὁρατῶς ἐκβοῶσι τὴν τῶν ᾀσμάτων σοι μελῳδίαν· ἰδοὺ ὁ κλεινὸς Διονύσιος νῦν προβάλλεται. (γ'.) ἄρωμεν ὅθεν τὸν ὕμνον, καὶ ὡς ἐφικτὸν ἀνυμνήσωμεν τῆς ἱεραρχίας ἔρασμα θεῖον. (βαρύς.) διὰ τούτου γὰρ ἡ ἁπάντων τῶν χριστωνύμων σωτηρία γίγνεται· ὢ ἀπενίζειν οὐκ ἰσχύομεν ἀκλινῶς, καὶ ἄξιον ἀπονέμειν ἐφύμνιον.

μνιον. (δ΄.) τούτου γὰρ ἡ ἀφθαρσία, καταπλήττει νόας ἅπαντας. (πλ. δ΄.) διὸ πανάγιε ἱεράρχα ἀεὶ σὺν τῇ ἀσπίλῳ παρθένῳ καὶ μετὰ τέλος, μὴ ἐλλείπῃς πρεσβείαν διατηρῆσαι ἀσινεῖς ἀπὸ πάσης δεινῆς περιστάσεως τοὺς εὐφημοῦντάς σε· τὴν γὰρ σὴν ἀντίληψιν κεκτήμεθα. (ά.) ἀκαταπαύστως γλώττῃ εὐσήμῳ μακαρίζομεν.

## Εἴσοδος. τὸ φῶς ἱλαρόν. τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.

### Παροιμιῶν τὸ Ἀνάγνωσμα.

ΜΝήμη Δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ· μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς εἶδε φρόνησιν· κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη· νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. τοιγαροῦν ἀκούσατέ μου ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ· καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων· ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν· ἐγὼ ἐπεκαλεσάμην· ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμοὶ φρόνησις, ἐμοὶ δὲ ἰσχύς· ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι καὶ δόξαν· νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν· εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ· καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά, ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου· ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ· μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου· οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες· πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν· διδάσκω γὰρ ὑμᾶς ἀληθῆ; ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

## Σοφία Σολομῶντος τὸ Ἀνάγνωσμα.

Στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται· χείλη ἀνδρῶν σοφῶν ἐπίστανται χάριτας· στόμα δὲ ἀσεβῶν καταστραφήσεται· ζυγὸς δόλιος βδέλυγμα ἐνώπιον Κυρίου, στάθμιον δὲ δίκαιον δεκτὸν αὐτῷ ἐστιν. οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία· στόμα δὲ σοφῶν μελετᾷ σοφίαν. τελειότης εὐθέων ὁδηγήσει αὐτοὺς· οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ· δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου· ἀποθανὼν δὲ δίκαιος ἔλιπε μεταμέλον· πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια· δικαιοσύνη ἀμώμου ὀρθοτομεῖ ὁδοὺς, ἀσεβείᾳ δὲ περιπίπτει ἄνομος· δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύεται αὐτοὺς, τῇ δὲ ἀσεβείᾳ ἑαυτῶν ἁλίσκονται παράνομοι. τελευτήσαντος ἀνδρὸς δικαίου οὐκ ὤλυται ἐλπὶς, τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὤλυται. δίκαιος ἐκ θήρας δύνει, ἀντ' αὐτοῦ δὲ παραδίδοται ἀσεβής. ἐν στόματι παρανόμων παγὶς πολίταις· αἴσθησις δὲ δικαίων εὔοδος. ἐν ἀγαθοῖς δικαίων κατώρθωται πόλις, καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα. ἐν εὐλογίᾳ εὐθέων ὑψωθήσεται πόλις. στόματι δὲ ἀσεβῶν κατασκαφήσεται. μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν· ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

## Σοφία Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὔτε ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώπῳ, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος· εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλύει νοῦν ἄκακον. τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας· οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν λιτήν. στ. Ἰδιόμελ. ἦχος, α.

Ἐξέστησαν μέροπες πάντες, ἐξέστησαν καὶ νόες οὐράνιοι ἐπὶ τῷ παρὰ σοῦ τελεσθέντι κατορθώματι· τὸν γὰρ φονικῇ ὠμότητι Κωνσταντῖνον τὸν φίλτατον ὁμαίμονα πικρῶς ἀποκτείναντα, φιλοφρόνως ἐξενίσας· καὶ πατρικῶς νουθετήσας, καὶ τὸ τούτου ἀσέβημα ἐν πνεύματι πρᾳότητος συγχωρήσας, εἰς ἀλλοδαπὴν σὺν ἐφοδίοις ἀπέπεμψας· ὢ ὑπερφυοῦς κατορθώματος· ὅθεν καὶ ὁ μισθαποδότης Κύριος ἀφθαρσίᾳ κοσμήσας τὸ σὸν πανσέβαστον λείψανον, κρήνην παντοδαπῶν ἰαμάτων κατειργάσατο, καὶ ἡμῖν ἐδωρήσατο ὄλβον ἀναφαίρετον, ἱερομύστα Διονύσιε.

Ἦχος, β'.

Τῷ εὐαγγελικῷ τοῦ Σωτῆρος ἑπόμενος, παραγγέλματι τῷ διδάσκοντι· προκρίναι τῶν ἐνεστώτων, τὰ μέλλοντα, ἦρες ἐπώμιον τὸν σταυρὸν τοῦ Κυρίου σου, μὴ σκεδαννύμενος ὅλως ἐπὶ τὰ ἔξω, μηδὲ στησάμενος ἐν σεαυτῷ εἴδωλον τῆς εἰσδεχθοῦς ἁμαρτίας, ἀλλὰ νεκρώσας τὰ πάθη πανημέροις νηστείαις, καὶ παννυχίοις τοῖς ὕμνοις, ἐπτερώθης αὔλως πρὸς τὴν τοῦ Θεοῦ εὔνοιαν· κἀκεῖθεν καταυγασθεὶς, ὤφθης φωστὴρ διαυγέστατος καταυγάζων τὴν ὑφήλιον τοῖς τῶν θαυμάτων σου σελαγίσμασιν· ἐξόχως δὲ τὴν ἐνεγκοῦσάν σε Ζάκυνθον· ἥτις κεκτημένη τὸ σὸν θαυματόβρυτον λείψανον ὡς κόσμον πολύτιμον, ἐκτενῶς ἱκετεύει, φυλάττειν αὐτὴν ἐξ ὁρατῶν καὶ ἀοράτων πολεμίων, ταῖς πανευπροσδέκτοις σου πρὸς Θεὸν δεήσεσιν ἱεροφάντορ Διονύσιε.

Ἦχος πλ. δ'.

Βαβαὶ τῶν ὑπερφυῶν τερατουργημάτων τῶν ὁσημέραι γιγνομένων παρὰ σοῦ, τῇ τοῦ τελεταρχικοῦ πνεύματος ἐνεργείᾳ Ἱερομύστα Διονύσιε· καὶ γὰρ ποτὲ σφοδρῷ κλύδωνι ναύτας περιπεσόντας, καὶ μόνης τῆς παρά σου βοηθείας τυχόντας, ἐπιφανεὶς ῥᾷστα τοῦ δέους ἐξείλου· καὶ ἐν ἀκαρεῖ αὔρας ἡδείας περιπνευσάσης ἠπείγοντο φθάσαι τὸν περικαλλῆ σου ναόν· καὶ περικυκλοῦντες τὴν σὴν πάντιμον λάρνακα, ὕμνους

εὐχα-

εὐχαριστηρίους σὺν πολλῷ τῷ δέει προσήγαγον λαμπρᾷ τῇ φωνῇ κηρύττοντες τὸ παράδοξον τοῦ θαύματος· οὕτω γὰρ οἶδε δοξάζειν ὁ δεδοξασμένος Κύριος τοὺς εἰλικρινῶς αὐτὸν ἀντιδοξάζοντας· ὃν μὴ παύσῃ ἱκετεύειν ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας ἡμῶν τῶν πιστῶς ἑορταζόντων τοῦ θείου σου λειψάνου τὴν σεβασμίαν μετάθεσιν, ὦ Ἱεραρχίας ἀγλάϊσμα.

Δόξα ἦχος, πλ. α'.

Ὅσιε πάτερ Ἱεροφάντορ Διονύσιε, ποθήσας τὴν ὄντως φιλοσοφίαν, προσκαίροις Κόσμου τοῖς δοκοῦσι τερπνοῖς ὡς συνεχὴς τὸ χαίρειν προσείρηκας· μηδὲ συναρπασθεὶς τὸ παράπαν ὄγκῳ γένους, μηδὲ δόξης κενῆς ὑψώματι· ἀλλ' ὅλος μετάρσιος γεγονὼς, καὶ τοῖς ἐρήμοις οἷα βαπτιστὴς αὐλιζόμενος, ἐλέπτυνας τὸν νοῦν πνευματικαῖς θεωρίαις· διὸ κεκαθαρμένῃ διανοίᾳ, καὶ ψυχῇ ἁγνοτάτῃ, Θεῷ τῷ φύσει καθαρῷ ἁγνῶς προσωμίλεις, παννυχίοις τοῖς ὕμνοις· ὅθεν θαυματουργῶν ἐπὶ σὲ ὁ Δεσπότης σου, ῥοῦν ποταμοῦ πολύρρυτον στήσας, ἀβρόχοις ποσὶν ὡς πάλαι Ἰσραὴλ παραδόξως διώδευσας ἄγαν ἐπὶ τούτῳ ἐκπληττομένου Δανιὴλ τοῦ Διακόνου σου· καὶ ῥαγδαίου ὄμβρου ψεκὰς εὐλαβουμένη σε οὐδ' ὅλως καθ' ὁδόν σου καθήψατο· τεκμήριον ἀκραιφνὲς τῆς πρὸς Θεόν σοι ἐγγύτητος· ὃς καὶ τηρήσας τὸ σὸν σκῆνος μετὰ πότμον ἀλώβητον, ἐδωρήσατο τῇ Ζακυνθίων Ἐκκλησίᾳ ἀκράδαντον ἔρεισμα· ἥνπερ ἀεὶ φύλαττε ἀπήμονα ταῖς ἱεραῖς σου πρεσβείαις πάτερ ἁγιώτατε.

Καὶ νῦν Θεοτοκίον, ὁ αὐτός.

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως Παρθένε πάνσεμνε· δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν ἥλιος ὑπάρχων δικαιοσύνης φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. διὸ πανύμνητε, ὡς μητρικὴν παρρησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν στίχον. Ἦχος, πλ. ά.
Χαίροις ἀσκητικῶν ἀληθῶς.

ΧΑίροις Ἀρχιερέων λαμπτὴρ, χαίροις Αἰγίνης ὁ ποιμὴν ὁ πανάριστος· Ζακύνθου χαίροις ὁ γόνος, ὁ τιμαλφὴς καὶ τερπνὸς, τῶν στροφάδων χαίροις τὸ προπύργιον, ἀκέστωρ νοσούντων, καὶ τῆς πενίας ἐπάρκεια, τῶν ἐν θαλάσσῃ, ὁ λιμὴν ὁ ἀχείμαστος, Ἐκκλησίας τε, Κόσμος ὄντως καὶ ἔρασμα· ἥνπερ ἐκδυσωποῦμέν σε, σοφὲ Διονύσιε, τηρῆσαι βλάβης παντοίας, διαπαντὸς ἀνενόχλητον, προχέων ἐξ ὕψους, ἐπ' αὐτῇ θείαν εἰρήνην, ταῖς ἱκεσίαις σου.

Στίχ. Τίμιος ἐναντίον Κυρίου.

ΔΕῦρο Αἰγινιτῶν ὁ χορὸς, καὶ Ζακυνθίων εὐφημήσωμεν σύλλογος, συμφώνως, τῶν φιλεόρτων, οἱ μὲν ποιμένα σεπτὸν, οἱ δὲ γόνον ὄντως ἀμφιδέξιον· καὶ πίστει τὴν λάρνακα, τὴν προχέουσαν θαύματα, περικυκλοῦντες, ἀῤῥυπόροις ἐν χείλεσιν, ἀσπασώμεθα, τὸ πανσέβαστον λείψανον· μέγας ἀνακραυγάζοντες, ὑπάρχεις Τρισήλιε, ἡ ἐνιαία θεότης, ἡ τὸν κλεινὸν Διονύσιον, κατ' ἄμφω ἐνδόξως, ἀνυψώσασα καὶ Κόσμῳ, φρουρὸν παρέχουσα.

Στιχ. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται.

ΕΔυς πεπλευκὼς ὑπὸ γῆν, καὶ αὖθις ἥλιος καθάπερ ἀνέτειλας, ἀστράπτων, τῆς ἀφθαρσίας, ταῖς σελασφόροις βολαῖς, εὐσεβῶν χορείας Διονύσιε, ἀρδεύεις δὲ ἅπαντας, τοῖς ὀχετοῖς τῶν θαυμάτων σου, τοῖς ἀειῤῥύτοις κρουνιδὸν οἳ προχέονται, ἐκ τοῦ σκήνους σου τοῦ ἁγίου παμμέγιστε· ὅπερ κατασπαζόμενοι, ψυχῆς αἰσθητήρια, καὶ τοῦ χρωτὸς τῆς ὁμίχλης, τῆς τῶν παθῶν ἐκκαθάρωμεν· Θεῷ τῷ ἀφθάρτῳ, ἀναπέμποντες τὸν ὕμνον, τῷ σὲ δοξάσαντι.

Δόξα. ἦχος, πλ. δ'.

ΠΑυσάτωσαν σήμερον δὴ, παυσάτωσαν αἱ ληρώδεις φληναφεῖαι ἀσόφων φιλοσόφων αἱ φάσκουσαι, σωματοτρόφον πέλουσαν τὴν γῆν, καὶ σωματοφθόρον· φροῦδα τούτων τὰ δόγματα, ἀπατηλὰ τὰ σοφίσματα· ἰδοὺ γὰρ τὸ πανσεβα-

σέβαστον σκῆνος τοῦ μάκαρος πνέον ὀσμάς, εὐωδιάζει τοὺς προσπελάζοντας· καὶ θαύματα βρύον, ὡς ἄλλος τῆς Ἐδὲμ ποταμὸς, ἀρδεύει τὴν πετραμέρειαν· καὶ ὑπὸ χρόνου μὴ λυμαινόμενον, ἀνατρέπει παραδόξως τοὺς τῆς φύσεως ὅρους· ὅπερ εὐλαβῶς οἱ πιστοὶ ἀσπαζόμενοι, θερμῶς ἀνακράξωμεν· ταῖς τοῦ κλεινοῦ σου θεράποντος Διονυσίου προστασίαις Τριὰς ὑπερούσιε, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. ὁ αὐτός.

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκὶ, μήτηρ Θεοῦ τοῦ Ὑψίστου· σῶν ἱκετῶν παρακλήσεις δέχου πανάμωμε· ἡ πᾶσι χορηγοῦσα, καθαρισμὸν τῶν πταισμάτων· νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Ἀπολυτίκιον. Ἦχος, α'.
Τοῦ λίθου σφραγισθέντος.

Δεῦτε πάντες ἐν ᾠδαῖς εὐφημήσωμεν, τὴν τοῦ πανιέρου λειψάνου Διονυσίου τοῦ μάκαρος, ἐπάνοδον· καὶ γὰρ οἷα φωστὴρ, δύνας θεσμοῖς τοῖς φυσικοῖς, ὑπὸ γῆν αὖθις τῷ Κόσμῳ, ἀγλαῶς ἐξανέτειλε· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ χορηγοῦντί σοι, διδόναι πᾶσι δαψιλῶς, θαυμάτων τὰ σελαγίσματα. Δόξα, τὸ αὐτό.

Καὶ νῦν.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ χαῖρε· σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης· ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ ὡς ἔφη ὁ δίκαιος Δαβὶδ, ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν βαστάσασα τὸν κτίστην σου. δόξα τῷ ἐνοικήσαντι ἐν σοὶ, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου. Καὶ Ἀπόλυσις.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. Στιχολογίαν Καθίσματα.
Ἦχος, α'. Τὸν τάφον σου Σωτήρ.

Εὐφραίνεται λαμπρῶς, Ζακυνθίων τὰ στίφη, λειψάνου σου σεπτοῦ, μεταθέσει καὶ οἶκον ἐγείραντες ἔνδοξον, ἐν

αὐτῷ

αὐτῷ ἀθροιζόμενοι, ὕμνοις μέλπομεν, τὴν παναγίαν σου μνήμην, Διονύσιε, καὶ σὸν πανέντιμον σκῆνος, πιστῶς ἀσπαζόμεθα.

Δόξα, Ὅμοιον.

Ψυχῆς τὸ καθαρὸν, ἐγνωκὼς ὁ Δεσπότης, ἀνήγαγέ σοφὲ ἐπὶ θρόνου Αἰγίνης, ἐφ᾿ ᾧ περιέλαμψας, ὡς πολύφωτος ἥλιος, ἀπωθούμενος, ἀμπλακημάτων τὸν ζόφον, ἐκ τῆς ποίμνης σου, σαῖς ἀστραπαῖς ἣν καὶ ἦγες, πρὸς φῶς τὸ ἀνέσπερον.

Καὶ νῦν. Θεοτοκίον.

Ἀσπόρως τὸν Χριστὸν, ἀπεκύησας μόνη, τὸ θαῦμα ὑπὲρ νοῦν, πῶς Παρθένος καὶ μήτηρ, διὸ Θεοτόκον σε, προσκυνοῦντες δοξάζομεν· σὺ γὰρ ἔτεκες, τὸν Βασιλέα ἁπάντων, ὃν δυσώπησον τοῦ εἰρηνεῦσαι τὸν Κόσμον, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Μετὰ τὴν δευτέραν Στιχολογίαν. Καθίσματα, Ἦχος, δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἀπορρήψας συνεχῶς, τύρβην τοῦ βίου ἀληθῶς, ἐπορεύθης ἀκλινῶς τρίβον τῶν Θείων ἐντολῶν, ἐν τῇ μονῇ δὲ φθάσας τῆς Ἀναφωνητρίας, διῆγες ἐν αὐτῇ ἀγγελικὴν βιοτὴν, καθάρας ὀπτικὸν ψυχῆς σου πάντιμε, ἑώρας τὰ κρυπτὰ πνεύματος χάριτι· τῷ Παγκρατίῳ θύτῃ φανερούμενος, παρόραμα ἀγνοούμενον, καὶ μετὰ πότμον, Θεῖόν σου σκῆνος, πᾶσι βρύει ἰάματα.

Δόξα. ἦχος, γ΄. Τὴν ὡραιότητα.

Εὐήμερον Ζάκυνθος, δῶρον, θεόσδοτον, τὸ θαυματόβρυτον σκῆνος τοῦ μάκαρος, ἀναλαβοῦσα χαρμονῆς, ἀπείρου κατεπληρώθη· δεῦτε οὖν φιλέορτοι, εὐλαβῶς ἀσπασώμεθα, καὶ ἀναβοήσωμεν· ὦ Τρισάγιε Κύριε, ταῖς Διονυσίου πρεσβείαις, ῥῦσαι κολάσεως τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν ὡραιότητα τῆς Παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνίας σου· ὁ Γαβριὴλ καταπλαγεὶς, ἐβόα σοι Θεοτόκε·

τόκε· ποῖον σοι ἐγκώμιον προσαγάγω ἐπάξιον, τί δὲ ὀνομάσω σε, ἀπορρῶ ἐκθαμβούμενος· διὸ ὡς προσετάγην βοῶ σοι, χαῖρε ἡ κεχαριτωμένη.

Μετὰ τὸν πολυέλεον Καθίσματα,

Ἦχος, πλ. δ΄. Τὴν Σοφίαν καὶ λόγον.

Ἡ ἀσκήσει κοσμούμενος ἱερῶς, καὶ ἁγνίᾳ λαμπόμενος καθαρῶς, ἔθυες τῷ κτίσῃ σου, προσφορὰν τὴν ἀναίμακτον, Μελχισεδὲκ ὡς πάλαι, εἰς Κόσμου ἐξίλασμα· ὡς ἱεράρχης Θεῖος σοφὲ Διονύσιε· ὅθεν μετὰ πότμον, ὥσπερ ζῶν τὰς ἰάσεις, παρέχεις ἑκάστοτε τοῖς ἐν πίστει προστρέχουσιν ἐν τῷ Θείῳ τεμένει σου· καὶ Ζάκυνθον φρουρεῖς δεινῶν ἐπιδρομῆς δυσμενῶν τε καὶ λοιμοῦ, τὴν ἑορτάζουσαν πόθῳ, σοῦ λειψάνου ἐπάνοδον.

Δόξα. τὸ αὐτὸ, καὶ νῦν. Θεοτοκίον.

Δεῦτε πάντα τὰ ἔθνη θεοπρεπῶς, τὴν μητέρα τοῦ πάντων δημιουργοῦ, ὑμνήσωμεν λέγοντες· χαῖρε θρόνε πυρίμορφε, τοῦ τῶν ὅλων δεσπόζοντος Ἰησοῦ τοῦ παντάνακτος· χαῖρε μόνη Κυρία, τοῦ Κόσμου καὶ λύτρωσις, χαῖρε τὸ δοχεῖον, τῆς ἁγίας Τριάδος, Πατρός, υἱοῦ τε καὶ πνεύματος, τὸ λαμπρὸν καὶ ἀκήρατον, Μαριὰμ ἀειπάρθενε, ἡ ἐλπὶς ἡ βεβαία μοι· χαῖρε πάνσεμνε νύμφη ἡλιοστάλακτε, χαῖρε πάντως χαρὰ τῶν ὑμνούντων σε.

Οἱ ἀναβαθμοί. τὸ α΄. ἀντίφωνον τοῦ δ΄. ἤχου. Προκείμενον· Τὸ στόμα μου λαλήσει Σοφίαν· στίχ. Ἀκούσατε πάντα τὰ ἔθνη, τὸ πᾶσα πνοή. Εὐαγγέλιον κατὰ Ἰωάννην· Ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας. Ὁ Ν΄.

Δόξα. ἦχος, β΄.

Ἐρρωμένη ὦ πατρὶς, Διονυσίου τὸ σκῆνος δέχου, ἥκει γὰρ ἐν σοὶ, καὶ τὴν ἄφιξιν αὐτοῦ, λαμπρῶς ἑόρταζε.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς καὶ τὸ Ἰδιόμελον.

Ἦχος, πλ. β'.

Ὅσιε τρισμάκαρ ἁγιώτατε πάτερ, ὁ ποιμὴν ὁ καλὸς, καὶ τοῦ ἀρχιποίμενος Χριστοῦ μαθητὴς, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων· αὐτὸς καὶ νῦν πανεύφημε, Ἱεράρχα Διονύσιε, αἴτησαι πρεσβείαις σου, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου· καὶ τὰ ἑξῆς.

Οἱ Κανόνες τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς ϛ'. καὶ τοῦ Ἁγίου εἰς η'. Ὁ Κανὼν τῆς Θεοτόκου.

Ὠδὴ, α'. ἦχος, πλ. δ'. Ὁ Εἱρμός.

Ἁρματηλάτην Φαραὼ ἐβύθισε, τερατουργοῦσα ποτέ. Μωσαϊκὴ ῥάβδος, σταυροτύπως πλήξασα, καὶ διελοῦσα θάλασσαν· Ἰσραὴλ δὲ φυγάδα, πεζὸν ὁδίτην διέσωσεν, ᾆσμα τῷ Θεῷ ἀναμέλποντα. Τροπάριον.

Χαῖρε κατάρας παλαιᾶς ἡ λύτρωσις, καὶ εὐλογίας πηγὴ, χαῖρε ζωῆς Μήτηρ, ὅδου ἡ καθαίρεσις θανάτου ἡ ἀναίρεσις, χαῖρε Θεοτόκε πανύμνητε.

Ἅρμα τοῦ λόγου λογικὸν καὶ ἔμψυχον, χαῖρε πανάμωμε· δαβιτικὸν χαῖρε, ἅρμα πολυώνυμον, ἅρμα μυριοπλάσιον· χαῖρε ἡ ἀσυγκρίτως τῶν Χερουβὶμ ὑπερέχουσα, καὶ τῶν Σεραφὶμ ὑπερφέρουσα.

Ἱερωτέρα νοερῶν δυνάμεων, χαῖρε θεόνυμφε· χαῖρε κτίσης πάσης, ἀνωτέρα φύσεως, χαῖρε Θεοῦ παλάτιον· χαῖρε πύρινε θρόνε, χαῖρε λυχνία πολύφωτε, χαῖρε μυριώνυμε Δέσποινα.

Ῥάβδος ἐκ ῥίζης Ἰεσσαὶ βλαστήσασα, χαῖρε ἀμόλυντε· χαῖρε βλαστῷ ῥάβδου, τῆς Ἀαρωνίτιδος, διαγραφεῖσα πρότερον; μυστικῶς καὶ βαθέως· ὡς γὰρ ἐκείνη τὰ κάρυα, οὕτω τὸν Χριστὸν σὺ ἐξήνθησας.

Ὁ Κανὼν τοῦ Ἁγίου. Ὠδὴ α. ἦχος καὶ Εἱρμός. Ὁ αὐτός.

Τετολμηκὼς στέψαι σοῦ σκήνους ᾄσμασι, θείαν ἐπάνοδον·

καὶ ἄμωμος ὅλος, ὑπάρχων καὶ ἄναγνος, λόγον σοφίας δώρησαι, Διονύσιε πάτερ ἐμοί τε καὶ καθαρότητος, ὅπως ἐπαξίως ὑμνήσω σε.

ΜΕτ' εὐφροσύνης ὑποδέχου σήμερον, Ζακύνθου σύλλογε, ἀγλαὸν σὸν γόνον, ἥκει γὰρ ἐφέσιος, τοῖς πᾶσι τὰ χαρίσματα, διανέμων πλουσίως, ἐμφορηθέντες οὖν κράξωμεν· αἶνός σοι Τρισμάκαρ Διονύσιε.

ΑΡχὴ σοφίας τὸ φοβεῖσθαι Κύριον, ὁ Σολομῶν στοιχειοῖ, ἥνπερ νηπιόθεν, ὡς ἐνστερνισάμενος ἔξω Κόσμου γεγένησαι, καὶ νηστείας χολάζων καὶ κακουχίαις κεκλήρωσαι, πόλιν τὴν οὐράνιον εὔδοξε. Δόξα.

ΩΣπερ ἠλίας ποταμοῦ ἐξήρανας, φορὰν ῥευμάτων σοφέ· καὶ ποσὶν ἀβρόχοις, ὥδευσας καὶ ὕδατος ψεκὰς σου οὐ καθήψατο· οὕτω γὰρ καὶ ἡ φύσις ἀψύχων οἶδεν αἰδεῖσθαί σου, βίον τὸν Ἰσάγγελον ὅσιε. Καὶ νῦν.

ΥΜνῆσαι ἣν εὐλογοῦσι τάγματα, τὰ ἐπουράνια, οὐκ ἔστι μοι θέμις, ἀλλὰ ὡς ὑπάρξασα ἐλέους ἡ γεννήτρια· σύγγνωθί μοι Παρθένε τολμήματος καὶ παράσχου μοι, τῶν πλημμελημάτων μου ἄφεσιν. Καταβασία.

ΣΤαυρὸν χαράξας Μωσῆς, ἐπ' εὐθείας ῥάβδῳ τὴν ἐρυθρὰν διέτεμε, τῷ Ἰσραὴλ πεζεύσαντι, τὴν δὲ ἐπιστρεπτικῶς, Φαραὼ τοῖς ἅρμασι κροτήσας ἥνωσεν, ἐπ' εὔρους διαγράψας τὸ ἀήττητον ὅπλον· διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασαι.

Ὠδὴ γʹ. Ὁ Εἱρμός.

ΟΥρανίας ἀψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε Φιλάνθρωπε.

Τροπάριον.

ΙΣχυρώτατον ὅπλον, χαῖρε πιστῶν Δέσποινα, χαῖρε κραταιὰ προστασία, χαῖρε ἀντίληψις· χαῖρε βοήθεια, ἁμαρτωλῶν χαῖρε τοῖχος, τῶν προσκαλουμένων σε· χαῖρε τοῦ Κόσμου χαρά.

Σωτη-

ΣΩτηρίας ἀνθρώπων, χαῖρε στερρὸν ἔρεισμα· χαῖρε τοῦ Ἀδὰμ καὶ τῆς Εὔας, ἡ ἐπανάκλησις, δι᾽ ἧς ἀπέλαβον, τὴν παλαιὰν εὔκλειαν· χαῖρε ἡ ἀνοίξασα, πάλιν παράδεισον.

ΧΑῖρε ἄφλεκτε βάτε, χαῖρε φωτὸς ὄχημα, χαῖρε τοῦ Ἡλίου νεφέλη, χαῖρε περίδοξε, καὶ περιλάλητε, τοῦ βασιλέως καθέδρα· χαῖρε πόλις ἔμψυχε, Χριστοῦ τοῦ ζῶντος Θεοῦ.

ὙΠερόγαμε Μῆτερ, χαῖρε Ἁγνὴ Δέσποινα· χαῖρε ἡ ἀνήροτος χώρα καὶ ἀγεώργητος, ἡ γεωργήσασα, τὸν Γεωργὸν τῶν ἁπάντων, χαῖρε γῆ ἀλήθειαν, ἡ ἀνατείλασα.

Ἦχος. Ὁ αὐτός. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

ἉΓίοις ἑπόμενος Χριστοῦ, καὶ ἴχνη τῶν προσταγμάτων, ἀνιχνεύων τῶν αὐτοῦ ἀνηνέχθης, εἰς ἀκρώρειαν σοφὲ, ἁγιωσύνης ἔνθεν τοι, τῆς ἀφθαρσίας στέφει, ἐστέψατο Διονύσιε.

ΔΕίμας ἀρᾶς ἀφορισμοῦ, γυναικὸς εἰς κόνιν Πάτερ, διαλύσας ταῖς δεήσεσι θείαις, καὶ τὴν πλάνην διορθῶν τῶν ἰχθυβόλων ἤλεγξας, θαύματι παραδόξου, τῆς ἄγρας ὦ Διονύσιε.

ΣΚεῦος ὁρῶν σε ἐκλογῆς, ὁ τὰς καρδίας ἐτάζων, ἐπὶ θρόνου τῆς Αἰγίνης σὲ ἦρεν ἣν ἀρδεύσας διδαχαῖς, ἐξήνθησε τὸν τέπειρον, καρπὸν Ἁγιωσύνης, Ἱεροφάντορ Διονύσιε.

ὨΔὰς ἐπάγει σοὶ πατρὶς, παννυχίους Τρισμάκαρ, γηθομένη πρεσβείαις σου ὧν περ, ὁσημέραι δαψιλῶς, κατατρυφᾷ γεραίρουσα, ἐπάνοδον σοῦ σκήνους τοῦ σεβασμίου πανένδοξε.

Δόξα.

ἘΚ φωτοδότιδος πηγῆς, τῆς ἀπροσίτου Τριάδος, φωτισμὸν σωτηριώδη ἑλκύσας, καταλάμπρυνας σαφῶς ψυχῆς τὸ κάλλος ἔνδοξε, ὅθεν τὸν ζόφον Πάτερ, ἐμῆς καρδίας ἀπέλασον.

Καὶ νῦν.

ΠΕπωρωμένος ὀφθαλμοὺς, τοὺς τῆς ψυχῆς δυσωπῶ σε, ἀποκά-

ἀποκάθαρον τῇ σῇ μεσιτείᾳ, καὶ ἀξίωσον ἁγνῶς, διάγειν Παναγία μου· καὶ γὰρ ὡς Θεοῦ Μήτηρ, ἰσχύεις πάντα ὅσα βούλοιο.

Καταβασία.

Ράβδος εἰς τύπον τοῦ Μυστηρίου παραλαμβάνεται· τῷ βλαστῷ γὰρ προκρίνει τὸν Ἱερέα, τῇ στειρευούσῃ δὲ πρώην Ἐκκλησίᾳ νῦν ἐξήνθησε· ξύλον σταυροῦ, εἰς κράτος καὶ στερέωμα.

Κάθισμα ἦχος, πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Τῆς Αἰγίνης ποιμένα τὸν ἀληθῆ, τῶν στροφάδων κανόνα τὸν ἀσφαλῆ, Ζακύνθου λαμπρότατον, γόνον ὄντως καὶ πρύτανιν, φιλεόρτων χορεῖαι, συμφώνως ὑμνήσωμεν, καὶ ἐν πίστει κυκλοῦντες τὴν λάρνακα ἄρωμεν· ὄμματα καὶ χεῖρας, πρὸς τὸ Σκῆνος τὸ Θεῖον, ὃ περιπτυξώμεθα, καὶ θερμῶς ἐκβοήσωμεν· Τρισμάκαρ Διονύσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, σοῦ λειψάνου ἐπάνοδον. Δόξα τὸ αὐτό.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν οὐράνιον πύλην καὶ κιβωτόν· τὸ Παναγίον ὄρος τὴν φωταυγῆ, νεφέλην ὑμνήσωμεν τὴν οὐράνιον κλίμακα, τὸν λογικὸν παράδεισον, τῆς Εὔας τὴν λύτρωσιν, τῆς οἰκουμένης ὅλης, τὸ μέγα κειμήλιον. ὅτι σωτηρία, ἐν αὐτῇ διεπράχθη, τῷ Κόσμῳ καὶ ἄφεσις, τῶν ἀρχαίων ἐγκλημάτων. διὰ τοῦτο βοῶμεν αὐτῇ· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐσεβῶς προσκυνοῦσι, τὸν πανάγιον Τόκον σου.

Ὠδὴ, δ'. Ὁ Εἱρμός.

Σὺ μου ἰσχὺς Κύριε, σύ μου καὶ δύναμις, σὺ Θεός μου, σύ μου ἀγαλλίαμα, ὁ πατρικοὺς κόλπους μὴ λιπὼν, καὶ τὴν ἡμετέραν πτωχείαν ἐπισκεψάμενος· διὸ σὺν τῷ προφήτῃ Ἀββακοὺμ σοὶ κραυγάζω· τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Τροπάριον.

Ἀνατολὴ, τοῦ πατρικοῦ ἀπαυγάσματος, καὶ Ἡλίου τοῦ ἐξανατείλαντος, πρὸ ἑωσφόρου ἐκ τοῦ Πατρὸς, χαῖρε Θεο-

Θεοτόκε, νεφέλη κούφη ϗ ἔμψυχε· Παρθένε χαῖρε Μήτηρ, χαῖρε εὐλογημένη, χαῖρε δεδοξασμένη παναμωμε.

ΣΥ τὸ χρυσοῦν θυμιατήριον Δέσποινα, τοῦ ἀσέκτου, καὶ ἀΰλου ἄνθρακος, ἐν ᾧ ἐκαύθη διαρραγεν, τῆς ἀδαμιαίας, παρακοῆς τὸ χειρόγραφον. διό σοι χαῖρε κράζω, δι᾽ ἧς πᾶσιν ἐδόθη, ἡ χαρὰ ϗ τρυφὴ ϗ ἀπόλαυσις.

ΣΥ τῶν βροτῶν, δόξα ϗ κλέος ϗ καύχημα, ϗ Ἀγγέλων σέβος ϗ διάδημα, διὸ ἡ γῆ, ϗ ὁ οὐρανὸς, μίαν Ἐκκλησίαν, συστάμενοι παναρμόνιον· τὸ χαῖρε σοι βοῶμεν, χαῖρε Δέσποινα Κόσμου, χαῖρε πάντων ἀνθρώπων βοήθεια.

ΚΛίνη σεπτὴ, ἣν Σολομὼν προδιέγραψε, κυκλουμένην, δυνατοῖς ἑξήκοντα, χαῖρε Παρθένε ἡ κιβωτὸς, ἡ κεχρυσωμένη, τοῦ νοητοῦ ἁγιάσματος· λαβὶς ἡ θεία χαῖρε, χαῖρε βάτε πυρφόρε, χαῖρε πύλη ϗ κλίμαξ ϗ γέφυρα.

Τοῦ Ἁγίου ὁ αὐτός.

ΣΕλήνην δὴ, ἀπείργει ἡ ἀντίφραξις γῆς, τῆς ἀκτῖνος τοῦ Ἡλίου πάνσοφε, σὲ δὲ οὐδ᾽ ὅλως τε ἡ ἀχλὺς, ἡ τῆς ἁμαρτίας, ἐκώλυσεν ἐνοπτρίζεσθαι, τοῦ τῆς δικαιοσύνης σελασφόρου Ἡλίου, ἀστραπαῖς Διονύσιε πάντιμε.

Ὦ Δανιὴλ, ἀμφιγνοοῦντι ὤφθης ναῷ, ἐκτὸς θείας, λάρνακός σου Ἅγιε, λύων τὸ νέφος τὸ τοῦ νοὸς, ἔσω μέσῳ δύω θυτῶν σεπτῶν λευκοφόροντε. διὸ ἀκαταπαύστοις, ὑμνολογεῖ τοῖς ὕμνοις, ὡς σεπτὸν τῆς Τριάδος κειμήλιον.

ΟΠου Θεὸς, στέργεται τὰ πάντα ῥάδια, ἀποβαίνει, καὶ γὰρ τὸν ὁμούμενος πικρὸν φονέα ἐκ τῆς ὀργῆς τῆς τῶν διωκόντων, ἐρρύσω ὦ Διονύσιε· ἐξέστησαν ὁρῶσαι ϗ τῶν Ἀγγέλων τάξεις, σῆς ἀγάπης τὸ ὕψος τὸ μέγιστον.

Δόξα.

ΔΗμος πιστῶν, λιτανευόντων τὸ Σκῆνός σου, ἀνομβρίας αὐχμὸς διαλύεται, χέων πλουσίως τοὺς ὑετοὺς, ϗ τῆς γῆς ἀρδεύων, τὸ πρόσωπον Διονύσιε. διό σε κηδεμόνα, καὶ φρουρὸν ἐγνωκότες, ἀκαταπαύστως σὲ γεραίρομεν.

Καὶ νῦν.

ΘΕὸν ἐκ σοῦ, τὸν σαρκωθέντα ἱκέτευε, τὸν ἀτρέπτως, ὃ ἦν διαμείναντα, καὶ φυσικῶς ἶσον τῷ Πατρί, συγχώρησιν πταισμάτων, καὶ ψυχῶν σωτηρίαν, τοῖς ὑμνοῦσί σε πίστει δωρήσασθαι.

Καταβασία.

ΕἸσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ Μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν Θεότητα.

Ὠδὴ, ε. Ὁ Εἱρμός.

ΙΝα τί με ἀπώσω, ἀπὸ τοῦ προσώπου σου τὸ φῶς τὸ ἄδυτον, καὶ ἐκάλυψέ με, τὸ ἀλλότριον σκότος τὸν δείλαιον· ἀλλ' ἐπίστρεψόν με, καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου, τὰς ὁδούς μου κατεύθυνον δέομαι.

Τροπάριον.

ΝΟερὰν σατραπείαν, καὶ τυραννικὴν ἐναέριον φάλαγγα, παρελθεῖν ἀλύπως, ἐν καιρῷ τῆς ἐξόδου μου πάρεχε. ἵνα σοι τὸ χαῖρε, χαρμονικῶς Δέσποινα κράζω, χαῖρε πάντων ἐλπὶς ἀκαταίσχυντε.

ὩΣ χαρὰν συλλαβοῦσα, χαῖρε ὑπεράμωμε, χαῖρε ὑπέραγνε, χαῖρε τῆς ἁγνείας, πορφυρόχροον ἄνθος ἡδύπνοον· χαῖρε Παρθενίας κοκκοβαφὲς ἐρυθρὸν ῥόδον, καὶ Θεοῦ τὸ εὐῶδες ὀσφράδιον.

ΜΥστικὴ μυροθήκη, χαῖρε τὸ ἡδύπνοον μύρον ἡ βρύουσα· χαῖρε Θεία κρήνη, ἡ τὸ ὕδωρ τὸ ζῶν ἀναβλύζουσα· χαῖρε ἡ τὸν βότρυν, τὸν ζωῆς καρποφοροῦσα, ἀγεώργητος ἄμπελος Δέσποινα.

ἈΔιόδευτε πύλη, χαῖρε ἣν διώδευσε Χριστὸς ὁ Κύριος· παραδείσου πύλας, ἡ ἀνοίξασα χαῖρε τῷ τόκῳ σου. χαῖρε δι' ἧς χαίρει, ὁ οὐρανὸς καὶ γῆ χορεύει, ἡ τὰ ἄνω τοῖς κάτω συνάψασα.

Τοῦ Ἁγίου ὁ αὐτός.

ΒΑσκανίᾳ Βελίαρ ἄρδην ἐκτυφλούμενα τὰ σὰ Πάτερ ποίμνια, τῇ τοῦ σοῦ λειψάνου, ἐπιθέσει, τὰ πάντα ἀνέβλεψε. παραδόξῳ τρόπῳ, ὅθεν καὶ κόρας τῆς ψυχῆς μου, φώτισον ἃς τὰ πάθη κατέμυσαν.

Κρήνην μὲν ἰαμάτων, ἐνεγκούσῃ σὸν Σκῆνος Πάτερ ὁ Κύριος, καὶ φρουρὸν καὶ ῥύστην κατ᾽ ἐχθρῶν ὁρατῶν ἀοράτων τε· ἐδεδώκει ἥνπερ, ἀβλαβῆ τήρησον ὦ μύστα, ταῖς σαῖς ἱκεσίαις Διονύσιε.

Ὡς φωστὴρ ἐν τῷ Κόσμῳ, ὤφθης Διονύσιε λόγον ζωῆς ἔχων· καὶ νῦν ἐν ὑψίστοις, σὺν Ἀγγέλοις ᾄδεις τὸν ἐπινίκιον, ἐν φωνῇ ἀλήκτῳ περὶ τὸν θρόνον τῆς Τριάδος, αὐγαζόμενος θείαις ἐλλάμψεσιν.

Οἱ ἀτμοὶ σῶν καμάτων, νοητῶς ὥσπερ κρίνα ἀγροῦ τοὺς ἅπαντας κατευωδιάζουσι, δι᾽ ὧν καὶ τῷ Θεῷ εὐηρέστησας· ὦ καὶ μετὰ πότμον συνὼν τρυφῆς αὐτοῦ ὡς θέμις, κάλλει τῷ θείῳ Διονύσιε. Δόξα.

Ὡς τὸ βάρος βαστάσας, τῆς ἡμέρας οἷα ἐργάτης δόκιμος, καὶ τὸ δεδομένον τάλαντον αὐξήσας, ἀκήκοας, τῆς φωνῆς τῆς θείας, δεῦρο δὴ ὦ πιστέ μοι δοῦλε, εἰς τὴν χαρὰν τὴν τοῦ Κυρίου σου. Καὶ νῦν.

Τί σοι δῶρον προσάξω, ὑπὲρ ὧν ἐκ βρέφους δωρεῶν εἴληφας, τῆς σῆς εὐσπλαγχνίας, ὁ θεράπων σου τλήμων καὶ ἄναγνος; τοιγαροῦν ἐν γλώττῃ, ῥερυπωμένῃ ἀεννάως, ἀνυμνῶ σου Παρθένε τὸ ἔλεος.

Καταβασία.

Ὢ Τρισμακάριστον ξύλον, ἐν ᾧ ἐτάθη Χριστὸς ὁ Βασιλεὺς καὶ Κύριος· δι᾽ οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας, τῷ ἐν σοὶ δελεασθεὶς τῷ προσπαγέντι σαρκί, τῷ παρέχοντι τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Ὠδὴ, ς´. Ὁ Εἱρμός.

Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς θλίψεις· ὅτι κακῶν, ἡ ζωή μου ἐπλήσθη, καὶ ἡ ψυχή μου τῷ ᾅδῃ προσήγγισε. καὶ δέομαι ὡς Ἰωνᾶς, ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε. Τροπάριον.

Ἡ ἔμψυχος χαῖρε Δέσποινα κόχλος· ἡ κογχύλη σῶν ἀχράντων αἱμάτων, πορφυραυγῆ, ἐρυθρὰν ἀλουργίδαν, τῷ τοῦ παντὸς βασιλεῖ πορφυρώσασα· τὴν γύμνω-



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

σιν τὴν τοῦ Ἀδὰμ, ἡ σκεπάσασα χαῖρε πανύμνητε.

Στηρίζει μὲν τὰς καρδίας ἀνθρώπων, φυσικῶς ὁ αἰσθητὸς ἄρτος κόρη· Χριστιανῶν, τὰς ψυχὰς δὲ κρατύνει, τὸ σὸν ᾀδόμενον ἅγιον Ὄνομα. ἐντεῦθεν καὶ χαρμονικῶς, πᾶσα γλῶσσα τὸ χαῖρε κραυγάζει σοι.

Λυχνία ἡ χρυσαυγίζουσα χαῖρε, κιβωτὸς ἡ θεοχώρητος χαῖρε· χαῖρε σκηνὴ, χαῖρε ἅγιον Ὄρος, χαῖρε τοῦ ζῶντος Θεοῦ πόλις ἔμψυχε· παλάτιον χαῖρε Χριστοῦ· χαῖρε τέμενος θεῖον πολύφωτον.

Ὑπέραγνε ὑπεράμωμε χαῖρε, τὸ τῆς φύσεως ἐξαίρετον ἄνθος· χαῖρε κοινὴ, τῶν ἀνθρώπων τὸ γένους, φιλοτιμία καὶ χάρις θεόσδοτος· τὴν ἄτιμον φύσιν τῶν βροτῶν, ἡ τιμήσασα χαῖρε τῷ τόκῳ σου.

Τοῦ Ἁγίου. Ἄβυσσος ἁμαρτιῶν.

Θαῦμα ὤφθη ὑπὲρ νοῦν, γυναικὸς θεοσεβοῦς ἀφωνίαν, ἐν ἀσθενείᾳ οὔσης ἐπιθέσει δακτύλου σου· τοῦ σεπτοῦ ἐπὶ χρωτὸς, εὔλαλον ἔδειξας Ἱεράρχα, καὶ ὑγιᾶ ἀποκατέστησας.

Δύνας νόμοις φυσικοῖς, ὑπὸ γῆν ὦ Διονύσιε Πάτερ, ἀνέτειλας ἐσαῦθις ὡς ἀστὴρ φαεσίμβροτος· χαρισάμενος πιστοῖς σκῆνος σου πάντιμον ἐξ οὗ νέμεις, σῶν θαυμάτων τὰ σελαγήσματα.

Ἄνθρωπος ἀλλοδαπὴς, ἐφωράθη ἐν μονῇ τῶν Στροφάδων, ὑπὸ τοῦ ἀρχεκάκου χαλεπῶς πιεζόμενος· ὃς χρισάμενος χερσὶ Πατέρων ἐλαίῳ τῆς σῆς λυχνίας, εὐθὺς ἰάθη μεγαλύνων σε.

Ἐάον τέλει ἀληθῶς, τὰς αἰτήσεις ἐκ Θεοῦ εἰληφέναι, παντὶ τῷ φοβουμένῳ τὴν αὐτοῦ κυριότητα· ὅθεν ἔχων πρὸς αὐτὸν μεγίστην Πάτερ τὴν παῤῥησίαν, σοὺς αὐτοχθόνους περιφρούρησον.

Δόξα.

Γυναικὶ θεοφιλεῖ, ἐνοικούσῃ σὺν ἀνδρὶ εἰς σὸν οἶκον, ἐπιφανεὶς κατ᾽ ὄναρ, μὴ φοβοῦ γύναι εἴρηκας· ῥαντισάμενος δ᾽ αὐτὸν τὸν οἶκον ὕδατι τῷ ἁγίῳ, ᾤκουν ἀφόβως σεισμοῦ ἀπαλλῆς.

Καὶ νῦν.

Ὑψώσας παναληθῶς τὴν πεσοῦσαν τῶν ἀνθρώπων οὐσίαν, τὸν ἐν μορφῇ τῇ θείᾳ καὶ Πατρὸς ἐν ἰσότητι· καθορώμενον υἱὸν, τὸν ἀναλλοίωτον Θεοτόκε, ἄνευ σπορᾶς κυοφορήσασα.

Καταβασία.

Νοτίου θηρὸς ἐν σπλάγχνοις, παλάμας Ἰωνᾶς, σταυροειδῶς διεκπετάσας, τὸ σωτήριον πάθος προδιετύπου σαφῶς· ὅθεν Τριήμερος ἐκδὺς τὴν ὑπερκόσμιον ἀνάστασιν ὑπεζωγράφησε· τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ, καὶ τριημέρῳ ἐγέρσει τὸν Κόσμον φωτίσαντος.

Κοντάκιον. Ἦχος, δ΄. Ὁ Ὑψωθείς.

Τῶν Ζακυνθίων Εὐσεβῶν ἡ ὁμήγυρις, πανηγυρίσωμεν λαμπρῶς ἑορτάζοντες, ἐν ἐτησίοις ᾄσμασι καὶ ὕμνοις ἱεροῖς, πάνσεπτον ἐπάνοδον τοῦ παντίμου λειψάνου, τοῦ ἐξανατείλαντος δίκην Κόσμῳ Ἡλίου· ὃ ἀσπασθέντες κράξωμεν θερμῶς· φωστήρων χαῖρε, φωστὴρ Διονύσιε.

Ὁ Οἶκος.

Τὴν τοῦ διδασκάλου Χριστοῦ φωνὴν ἐνωτισάμενος, ἦρες ἐπ᾽ ὤμων τὸν Σταυρὸν αὐτοῦ καὶ ἀκλινῶς ἐπορεύθης τὴν στενὴν καὶ τεθλιμμένην τοῦ Ματαίου βίου ὁδὸν, ἀποῤῥίψας ὄγκον γένους, πραγμάτων περιουσίαν, καὶ πᾶσαν ἄλλην κοσμικὴν ἡδυπάθειαν· καὶ μόνος ἐν ὄρεσιν ἐν καθαρῷ τῷ νοῒ τῷ φύσει μόνῳ καθαρῷ Θεῷ ὁμιλῶν, ὤφθης ἀρτιφανὴς καὶ ζῶν, καὶ μετὰ πότμον ἀφθαρσίᾳ τὸ σὸν πανσέβαστον σκῆνος ὁ Κύριος ᾧ ἐν γῇ καθαρῶς ἐλάτρευσας, ἐδωρήσατο τῇ σῇ Πατρίδι δῶρον τιμαλφέστατον· ὃ ἀσπαζόμενοι σὺν πόθῳ κράζομεν θερμῶς· φωστήρων χαῖρε, φωστὴρ Διονύσιε.

Ἐν μηνὶ Αὐγούστῳ, κδ΄. Ἡ ἀνακομιδὴ τοῦ σεπτοῦ Λειψάνου τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Διονυσίου Ἀρχιεπισκόπου Αἰγίνης, καὶ ἡ τότε ἐκ Στροφάδων εἰς Ζάκυνθον ἐπάνοδος.

Στίχοι.

Γόνοιο δίου νῦν τυχοῦσα ἀφθάρτου.

Ζάκυνθε τέρπου γηθοσιώως οὖν κάρτα.
Εἰκάδι ἦκε δέμας ἀκεσίμβροτον ἐν γε πετάρτῃ.

Ο Ἄνθρωπος, ὁ ὁποῖος ἐτιμήθη περισσότερον ἀπὸ ὅλα τὰ κτίσματα τὰ ἐπὶ τῆς γῆς μὲ τὸ φῶς τοῦ λογικοῦ ἀπὸ ἐκεῖνο τὸ ὑπεράγιον πρωτότυπον τοῦ Θείου Χαρακτῆρος, καὶ ἐβάλθη ὡς βασιλεὺς εἰς τὰ πανευφρόσυνα ἐκεῖνα ἀνακτόρια τοῦ πανευτίμου Παραδείσου, ἐστολισμένος λαμπρότατα μὲ τρία ἐξαίρετα Χαρίσματα, τῆς ἀθωότητητος, τῆς ἀθανασίας, καὶ τῆς Βασιλικῆς Τιμῆς· αὐτὰ ἄναψαν μίαν Πυρκαϊὰν ἔχθρας, καὶ φθόνου εἰς τὸ στῆθος τοῦ Ἑωσφόρου. δὲν ὑποφέρει νὰ βλέπῃ ἄλλον ἀνεβασμένον ἐπάνω εἰς τὸν θρόνον εἰς τὸν ὁποῖον ἕνα καιρὸν αὐτὸς ἐβασίλευε· στενοχωρεῖται νὰ στοχάζεται τὸν ἑαυτόν του καταδικασμένον εἰς ἕνα χάος τοῦ ᾅδου, καὶ τὸν ἄνθρωπον μὲ τὸ δῶρον τῆς ἀναμαρτησίας, νὰ τρυφᾷ τὰς οὐρανίους δόξας. δὲν ἠμπορεῖ νὰ βαστᾷ ἀπὸ τὸν θυμὸν καὶ τὸν φθόνον, συλλογιζόμενος τὸν ἑαυτόν του ξεπεσμένον ἀπὸ τὴν μακαρίαν Ζωὴν καὶ ἐρριμμένον εἰς τοῦ θανάτου τὰ δεσμωτήρια, καὶ τὸν ἄνθρωπον μὲ τόσην ἀξίαν νὰ ἐγγίζῃ σχεδὸν εἰς τὰ ὅρια τῆς ἀϊδιότητος. καὶ διὰ τοῦτο ἐσύκωσε πόλεμον καὶ κατὰ τοῦ Θεοῦ, τοῦ ὁποίου δὲν τοῦ ἐγγίζει ποτὲ ὕβρις καὶ ὄνειδος, καὶ κατὰ τοῦ ἀνθρώπου· καὶ μὲ πονηραῖς διαβολαῖς, καὶ μὲ ψευδεῖς ὑποσχέσεις ἀποθεώσεως, ἐκατάπεισεν ἀλοίμονον τὸν ἄνθρωπον εἰς τὴν παρακοὴν τοῦ ποιητοῦ του Θεοῦ ὁ εὑρετὴς τῆς κακίας· καὶ διὰ τοῦτο ὁ ἄνθρωπος ὁ βασιλεὺς τῶν κτισμάτων, ὁποῦ ἦτον ἐπάνω εἰς τὴν ἀκρώρειαν τῶν ἀρετῶν, καὶ εἰς τὰ ὅρια τῆς ἀϊδιότητος εἰς μίαν στιγμὴν εὑρέθη γυμνὸς ἀπὸ τὴν θεϊκὴν χάριν, γελασμένος ἀπὸ τὸν Πατέρα τοῦ ψεύδους, καὶ ἀξιοδάκρυτος διὰ τὴν ἀθλίαν του κατάστασιν. διωγμένος λοιπὸν διὰ τὴν κακίαν τῆς παρακοῆς του ἀπὸ ἐκείναις ταῖς οὐρανίους ἔλαμψες, ἐβυθίσθη μέσα εἰς τὸ ζοφερὸν σκότος τῶν παθῶν καὶ ἐκεῖ συγκηλινδούμενος ἔσβεσε τὸ φῶς τοῦ λογικοῦ, καὶ ἔγινεν ὅμοιος μὲ τὰ ἄλογα ζῶα εἰς τὴν ἀναισθησίαν, καὶ ἐμπάθειαν· παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. ὢ ἀξιοδάκρυτος Κατάστασις ἡμῶν τῶν ἀνθρώπων. ὁ ἕνας μὲ τὴν τυραννικήν του σκληρότητα ἀντὶ ἄνθρωπος ἔγινε λέωντας· ὁ ἄλλος διὰ τὴν ἁρπαγήν του ἐχρημάτισε λύκος, καθὼς λέγει ἡ ἁγία γραφή·

(Σο-

